Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-183375-p0001-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-183375-p0002-1

# EPITHALAMION

# SCRIPTVM IN HONOREM CLARISS. VIRI VIRTVTE SAPIENTIA AC DOCTRINA

præstantiss. D. Bartholomæi Lasan I. V. Doctoris, & pudicissimæ uirginis Magdalenæ ornatissimi uiri & autoritate eximia præditi Illustrissimi Principis Ducis Saxoniæ Electoris Secretarij D. Bernhardi Freidingeri, filiæ.

A

M. Sebastiano Leonhardo Dresdensi.

WITEBERGÆ
EXCVDEBAT IOHANNES CRATO.
ANNO M. D. LXV.

14
15.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-183375-p0003-7

## Ἐπίγραμμα.

Ἐθέλων ἐμεῦ ἰαίνειν
ἐπ᾽ ἄνθεσιν καλοῖσιν
θυμὸν, τὴν εἰς ἔβαινον
λειμῶνα, καὶ τάχ᾽ εὗρον
στεφάνας πλέκοντ᾽ ἔρωτα
δ᾽ ἐξηρόμην μιν ὧδε
τίνι πλέκεις φίλιστε
τάδε στέφη. ὁ δ᾽ εἶπε
τῷδε νυμφίῳ θεμίστων
διδασκάλῳ νόμων τε
ὃς Σαξόνων κραταιῶν
ξύμβουλός ἐστιν ἀρχοῦ
ἤδ᾽ ἄξεται πρὸς οἶκον
κόρην πατρὸς γέροντος
πιστοῦ τε τοῦ Σεβάστου
πάντεσιν οὖσ᾽ ἐν αὐλῇ
ὣς εἶπεν ἔρως ἐγὼ δ᾽ αὖ
προσκύδαον μιν οὕτως
ἄνθη δὲ ποῖ᾽, ἄρ᾽ ὅστιν
τὰ συμπλέκεις, ὁ δ᾽ εἶπε
ἀμάραντος ἔστ᾽ ἴδ᾽ ἄνθος
οὗ Τεύτονες καλοῦσιν
ἀπ᾽ ἐφημέρου γλυκίστης
αὐξήσεως ἔρωτος
οὐ γὰρ περ ὢν ἀληθὴς
ἐν συζύγοισιν ἁγνοῖς
ἔρως μαραίνετ᾽ ἀλλὰ
ἐφ᾽ ἡμέρας ἑκάστης
ὅγ᾽ αὐξάνει, τάδ᾽ εἰπὼν
ταχέως πρὸς ἄστυ Δρέσδην
ἀπέβη στέφη προσοίσων
πλεχθέντα μελλονύμφοις.

*M. Simon Stein*
*Lomacensis.*

# EPITHALAMION.

Ἦν χρόνος ἡνίκ' ἐγὼ γ' οἶος μετὰ δαῖτα βαδίζων
ἐκ πόλιος λευκοῦ ὄρεος κλυτὸν οὔνομ' ἐχούσης
ἔνθα τε πιερίδων μουσῶν ἕδος ἄγλαον ἐστί.
οὔπω δ' εἰς γαῖαν νυκτὸς κνέφας ἦλθε μελαίνης
ἤδη ῥ' ἠελίοιο πρὸς ὠκεανὸν καταδύντος:
καὶ τότ' ἰδοὺ τὸ τυχὸν τίνα πάγκαλον ἀνέρα εὗρον
τούς τε πόδας μάλα σπεύδοντ' ἑλκέμεν εἰς πτολίεθρον
ὃς καλὸν κεφαλῇ στέφανον φέρε θαῦμα ἰδέσθαι
εἶχε δὲ ἐν ποσὶν ἀμβρόσια χρύσεια πέδιλα
ῥάβδον δ' ἐν χερσὶν λαμπρὸν καὶ ποικίλον ἔργον
ἦ μάλα δή ῥα θεῶν ἐδόκει μοὶ ὅγ' ἄγγελος εἶναι
ἀθανάτων ἐριούνιος ὅν ποτε δῖα θεάων
μαῖα τέκ' αἰδοίη, διὸς ἐν φιλότητι μιγεῖσα,
τὸν δ' ἑρμῆν θεοὶ ἄλλοι ἐπίκλησιν καλέουσι.
ἀντιόωντα δ' ἰδὼν τοῖς ὀφθαλμοῖσιν ἐμοῖσιν
οὐκ ἔφυγον μὲν ἐγὼν, κατὰ δὲ φρένα δείδια σφόδρα
θαρσήσασθ' ἅμ' ὁδὸν περ ἤθελε θυμὸς ἄνυσσον
ὡς ἴδεν ὡς ἐχάρη ταχέως μοι ἰόντι προσὰς
καὶ πρότερος τοιοῦτον ἐμὲ πρὸς μῦθον ἔνισπε.

Ἡμετέραις νεάνισκε φρεσὶν πολὺ φίλτατε χαῖρε
τίπτ' ἄρ' ἄθυμος ἔχεις, πλῆθος πόθεν ἐστὶ στεναγμῶν;
τίς δ' οὕτως τείρει σοι ἐνὶ στήθεσι φίλον κῆρ
οὐδὲν τῆς λύπης μεῖζον κακὸν ἐστὶ βροτοῖσιν.
τέτλαθ' ἐνὶ στήθεσιν ἔχων ταλαπενθέα θυμὸν
καὶ γὰρ δή γ' ἔτι τυτθὸς ἐὼν πολὺ κύντερον ἔτλης
οὐ χρὴ μουσάων θεράποντ' οὕτως πάτον ἄλλων
ἐξαλεείνειν καὶ κατέδειν τοῖς ἄλγεσι θυμὸν
εὐθύμει νεάνισκε φίλ' εἰς πτολίεθρον ἐσελθὼν
πρὸς πιστοὺς ἑτάρους, πολλοὶ σοὶ δ' εἰσὶ φίλιστοι
καὶ γράψας τάχα ἀνδρὶ σοφῷ τὸ γαμήλιον ᾆσμα
σὺν τ' ἄλλοις τοὺς νῦν ὁρόω σπεύδοντας ὁμαρτεῖν
τοὺς μάλα ἆσσον ἰὼν φωνήσω ὄφρ' εὖ εἰδῶσιν.

Φοῖβος ἐμ᾽ ἠνώγει δεῦρ᾽ ἐλθέμεν οὐκ ἀέκοντα
ὃν προσορῶ δάφνης κεφαλὴν ἐστεμμένον ὄζῳ
ξυνὴν μούσῃσιν ἀγειρομένῃς κατὰ τάξιν ἕπεσθαι
νῦν ἐθέλει γάρ, ἐπεὶ φάτος ἱερὸν ἦλθε γάμοιο
ἄνδρας τῶν κλέος εὐρὺ κατὰ χθόνα καὶ κατὰ πόντον
ἠΐθεοστε νέους εἰς ἄστυ καλόντε νεόντε
ἠδὲ πολύχρυσον πέμπειν, τῶνδ᾽ οὔνομα Δρέσδη.
ἔνθα δ᾽ ἀνὴρ ὀνομαστὸς ἐὼν μούσῃσί τε θεῷ τε
ἀνθρώποισί τε φίλος, τὸ δίκαιον τάς τε θέμιστας
εὖ εἰδώς, κούρην χαρίτων ἄπο κάλλος ἔχουσαν
ἣ πατρὸς θυγατὴρ συνετωτάτου εὔχεται εἶναι
βούλεται εἰς νηὸν μετέπειτα δὲ οἶκον ἄγεσθαι
χρὴ τοίνυν νῦν ἱερὰ λέγειν ἐνὶ ἤματι ἱρῷ.

Ὣς ἄρα φωνήσας πέτετο κρατὺς ἄγγελος Ἑρμῆς
λευκορίνου δ᾽ ἐπιβὰς κλυτοῖσιν ὅγ᾽ ἔμπεσεν οἴκοις
σπουδῇ ἰὼν πρὸς Πεύκηρον μεγαλώνυμον ἄνδρα
λευκορίδων λαμπροῦ μουσῶν φάος, ἠδὲ πρὸς ἄλλους
πρωτίστους ἄνδρας μουσῶν τε σοφοὺς ὑποφήτας
καρπαλίμως τελέσας τάγε πάντα θεῶν κατὰ βουλάς
ἀλλὰ μέγ᾽ ἀτρεκέως θάμβος μ᾽ ἔλεν εἰσορόωντα
πολλὰ δὲ θαυμάζων καὶ πολλ᾽ ἐνὶ φρεσὶ μενοινῶν.
μερμήριξα μὲν ἢ ἐ δόλος, νικᾷ δ᾽ ὅγ᾽ ἅπαντας
κερδαλέοισι δόλοις, ἢ δ᾽ ἐτήτυμον ὅττι κεν εἶπε.
εἰς δὲ πόλιν φεύγων ἠδ᾽ οὔασι μῦθον ἀναγνοὺς
πολλῶν μὲν τοῖον, πρότερον τὸν μ᾽ αὐτὸς ἔλεξε
καὶ τότε δ᾽ ἐξαίφνης ταχυπειθὴς ἐνθὺς ἐσῆλθον
μουσεῖον τόδε τὸ ξυνὸν σπουδῇ ἆσμα πονήσας.

Οὐ κύπρις οὐδ᾽ αὐτῆς θεὸς ἐστὶν φαίδιμος υἱὸς
ὥσπερ μυθεῖται ποιητῶν μοῦσα παλαιῶν.
ὃς δύναται πάντων πιθέειν φρένας ἠδ᾽ ἀπατῆσαι
παντοίοισι δόλοις, οὐδέν τε πεφυγμένον ἐστὶ
ἄχετα τοξόβολος τάγ᾽ ἵκτ᾽ εἰς πάντα βελέμνων
ὅσσα τρέφει πόντος τ᾽ ὅσα καὶ ζείδωρος ἄρουρα.

μᾶλλον δ᾽

μᾶλλον δ' εἰ θέλομεν τὸ ἐτήτυμον ἐξαγορεύειν
αἴτιος ἀθάνατος θεὸς ἐστιν μοῦνος ἔρωτος
καὶ καθαρὸς σύστημα θεοῦ γάμος ἀϊδίοιο.
ὅς δή γ' ἐμβάλλει θυμῷ γλύκιον ἵμερον ἀνδρῶν
οὕτως συζεύξας τόν τ' ἄνδρ' ἄλοχόν τε βεβαίως
ἄζυγον αὐτὸς ἰδὼν θεοείκελον ἀνέρα ναίειν
ἄλλων μὲν ζώων πάντων σφιν ὅμοιον ἐχόντων
καὶ τότε ἐκ λαγόνων παραδεισιακῷ ἐνὶ κήπῳ
ἧς παλάμης πλευρὰν εὕδοντος ἀνεῖλεν Ἀδάμου
ἐξ αὐτῆς τεύξων εὔαν ἔμεν ἀνδρὶ σύνεργον
ὥσπερ γοῦν θνητοῖσι θεοῦ πάρα δῶρον ἄριστον
κουριδίη ἄλοχος καλὸν ἥβης ἄνθος ἔχουσα
ἥτε θεὸν σέβεται καὶ τὸν φιλέει πόσιν αἰνῶς
οὕτω καὶ πάλιν ἐστὶ θεοῦ πάρα δῶρον ἄριστον
ἐσθλὸς ἀνὴρ ἀγαθός τε, θεῷ φίλος ἠδὲ βροτοῖσιν.
ἐκ κραδίης γαμετὴν ἀγαπήσας ὥσπερ ἑαυτόν.

ὅστις δὲ θνητῶν γαμέειν κακὸν ἔμμεν' οἴει
τὴν ἀμέριμνον ἔχειν ἐθέλων ζωήν τε ἐν οἴκον
τέκνα δ' ἀεὶ καλέει λύπας τε φόβους τε πόνους τε
ἄλλα τε ὅια τὶς αἰτιόων παρὰ μοῖραν ἐνισποι:
λάϊνον ἦτορ ἔχει θυμόν τε σιδήρεον ἐντὸς
οὐδὲ θ' οἱ ὄντ' ἀπαθεῖ φύσεώς τε θεοῦ τε μέμηλεν
φέρτερον ἐστὶ γαμεῖν δεινὴν φλόγ' ἔρωτος ἔχοντι
μίξιος ἢ φιλέειν συγγενὴν σύζευξιν ἀθέσμου,
ἔξοχα γὰρ πάντων στυγέει κρυόεσσαν ἐρωὴν
παντοκράτωρ θεός, ὡς δηλοῖ παραδείγματα πολλὰ
χρὴ δ' οὐ ταῦτα λέγειν ἐπεὶ πολὺ προσφανοῦς ἐστιν.

τρὶς μάκαρ οὖν οὗτος καὶ τετράκις ὄλβιος ἀνὴρ
νύμφιος ὡραίως μὲν ἄγων οἶκον δὲ γυναῖκα
οὔποτε αἰσθάνεται πολλὰς ὀδύνας τε γόους τε
τοῦ δὲ γὰρ ἀεὶ γλυκερὸν γαμετὴ παραμύθιον ἐστὶ
τῷ καὶ συμπαραμίμνει ἀέι δεινόν τι παθόντι.
ὥτως εὐδαίμων ζώει πολλοὺς ἐνιαυτοὺς

καλῶν εἰσοράων παίδων φάος ἐν μεγάροισιν
ἡδονὴ οὐ κρείσσων πέλεται πατρὶ ἠδὲ τ᾽ ἀρείων.
οὔτις δ᾽ ἐν θνητοῖς τόσον μηπώποτ᾽ ἂν εὕροι
τὴν φιλίην γλυκερὴν νυκτάς τ᾽ ἦμαρ τε βεβαίαν
ὅσσον ἀεί γ᾽ ἀνδρός τ᾽ ἀλόχου τε στοργὴ ἐτύχθη
ἁρμονίη γαμικὴ τὶ ξύμφυτον ἐστὶν ἀληθῶς
τοὔνεκα καὶ ἐν πρώτοις μετὰ τὴν δόσιν εὔχετ᾽ Ὀδυσσεὺς
ὅς πόλλ᾽ ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν
ναυσικάᾳ κούρῃ μεγαλήτορος ἀλκινόοιο
ἄνδρα τε καὶ οἶκον καὶ ὁμοφροσύνην διαπαντὸς
ἦ μάλα δὴ πιστὴν ἀνδρός τ᾽ ἀλόχου τ᾽ ὁμονοίην
οὔτις χωρίζειν δύναται πλὴν μοῖρα μέλαινα
ἥγε νόμῳ φύσεως πεπρωμένη ἐστὶν ἅπασιν.
Τοιγάρτοι μίμνει καλὸν γάμος ἤματα πάντα
τῷ συστημα θεοῦ τοῦ ὑπέρτατα δώματ᾽ ἔχοντος.

Χαῖρε δὲ ὦνερ ἔχων σοφίῃ πεπυκασμένον ἦτορ
ἠδὲ τ᾽ ἐπιστήμῃ, φρονέειν δ᾽ ὑπερέξοχε ἄλλων
πολλάκι νύμφιε χαῖρε περίκλυτε, ὃν μάλα γαίης
ἄρχων σαξονικῆς προφρόνως φιλέων θηεῖται
ῥεῖα δὲ οὐ γὰρ ἐν ἀνθρώποις εὑρήσετ᾽ ὅμοιον
κύριος αὐτὸς ἐὼν ἀγανός τε καὶ ἤπιος αἰὲν
ὥστε πατὴρ ἐθέλων λαοῖσιν ἑοῖσιν ἀνάσσειν.
νύμφιε δ᾽ αὖθις χαῖρε περίκλυτε, τῷ ποτε μουσῶν
λευκορίδων τιμὴν θεράποντες ὅπασσαν ἄοκνοι
ἄλλοι τ᾽ ἄνδρες ἄριστ᾽ ὧν νῦν κλέος ἐστὶ μέγιστον
ὡς ὑποφήτῃ ἐόντι φίλῳ καὶ πιστῷ ἑταίρῳ
νύμφιε χαῖρ᾽ αὖθις, σέοθεν σοφίης τ᾽ ἀρετῆς τε
ἀλλοδαποὶ δή γ᾽ ἀφνειοὶ σοὶ μάρτυρές εἰσιν
οἱ τούτων γνωρίσματα πολλὰ καὶ ἐσθλά σ᾽ ἔδωκαν
τῇ κεφαλῇ στέφανον δάφνης ἐριθηλέος ἔρνος
ὡς τὰ κρυπτὰ δίκης εὖ εἰδότι, ἀμφιτιθέντες
νύμφιε λαμπροτάτη χαῖρ᾽ αὐγὴ πατρίδος αἴης
τέκνον χαῖρε φίλον πατρὸς αἰδοίοιο γέροντος
ὃς τὰ δίκαια φρονῶν θυμῷ δὴ πόλλ᾽ ἐμόγησε

χαῖρ᾽

χαῖρε ὅτι μνηστεύεις κούρην κεδνήν τε καλήν τε
παῖδα φίλην ἀνδρὸς πρωτίστου καὶ παναρίστου
πάντων οὓς μὲν ἔχει Δρέσδη πτολίεθρον ἀγαυὸν
ὅττιγε Σαξονικῶν ἀρχῶν ἕδος ἐστὶ παλαιὸν

χαῖρε δὲ καὶ τύνη ὦ νύμφη πότνια χαῖρε
ὦ καλὴ ὦ χαρίεσσα κόρη προφερεστάτη ἄλλων
ἣν γ' ἀνδρὸς τοίου βαίνεις ἐπὶ δέμνιον ἁγιὸν
τοῦ κλέος ἠδ' ἀρετὴν ἀγορευέμεν ἱκανὸς οὐδεὶς
οὐδ' ἐθέλω νύμφη τὸ σεῖο ἐπήρατον εἶδος
τούστε τρόπους σεμνοὺς ἐν ἐμοῖς ἐπέεσσιν ἀείδειν.
κῦσον νῦν σύ τε τὴν πτύξας περὶ νύμφιε νύμφην
καὶ πόσιν ὦ νύμφη πτύξασα τὸν περὶ κῦσον

χαίρετε ἄμφω καὶ δοίη θεὸς αἰθέρι ναίων
εὐτεκνίην ὔμμιν καὶ ἀλλήλων ἶσον ἔρασθαι
δοίη δ' αὖ ζώειν δηνῶν ἀπάτερθε μεριμνῶν
καὶ καλὰ συμβαίνειν ἐν ὁμοφροσύνῃσιν ἅπαντα
τὸ τέλος ἀβλαβέως εἰς γῆρας οὐδὸν ἱκέσθαι.

Ἐγράφη ὑπὸ Σεβασιάνου τοῦ
Λεονάρτου Δρεσδιέως.

18. Nov 1994

Nh 1217

ULB Halle 3
001 600 079

TA -> OL

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-183375-p0011-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-183375-p0012-7

# EPITHALAMION SCRIPTUM IN HONOREM CLARISS. VIRI VIRTUTE SAPIENTIA AC DOCTRINA præstantiſs. D. Bartholomæi Laſan I. V. Doctoris, & pudiciſsimæ uirginis Magdalenæ ornatiſsimi uiri & autoritate eximia præditi Illuſtriſſimi Principis Ducis Saxoniæ Electoris Secretarij D. Bernhardi Freidingeri, filiæ.

14

A

M. Sebaſtiano Leonhardo Dreſdenſi.

WITEBERGÆ
EXCUDEBAT IOHANNES CRATO.
ANNO M. D. LXV.

15.

Farbkarte #13 B.I.G.
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-183375-p0013-2